Ευ. πάςας γυναῖκας ἃς δέδορκεν ἥλιος.
Ιφ. ἔργοις Ἀθάνας ἢ φρενῶν εὐβουλίαι;
Ευ. ἀρετῆι· πόςει γὰρ cυνθανοῦςα κείcομαι.
Ιφ. τί φήις; τί τοῦτ' αἴνιγμα cημαίνει caθρόν;
Ευ. ἄιccω θανόντος Καπανέως τήνδ' ἐς πυράν.
Ιφ. ὦ θύγατερ, οὐ μὴ μῦθον ἐς πολλοὺς ἐρεῖς;
Ευ. τοῦτ' αὐτὸ χρήιζω, πάντας Ἀργείους μαθεῖν.
Ιφ. ἀλλ' οὐδέ τοι coὶ πείcομαι δρώcηι τάδε.
Ευ. ὅμοιον· οὐ γὰρ μὴ κίχηις μ' ἑλὼν χερί.
καὶ δὴ παρεῖται cῶμα, coὶ μὲν οὐ φίλον,
ἡμῖν δὲ καὶ τῶι cυμπυρουμένωι πόςει.

Χο. ἰώ,
γύναι, δεινὸν ἔργον ἐξειργάcω.
Ιφ. ἀπωλόμην δύcτηνος, Ἀργείων κόραι.
Χο. ἒ ἔ,
cχέτλια τάδε παθών,
τὸ πάντολμον ἔργον ὄψηι τάλας;
Ιφ. οὐκ ἄν τιν' εὕροιτ' ἄλλον ἀθλιώτερον.
Χο. ἰὼ τάλας·
μετέλαχες τύχας Οἰδιπόδα, γέρον,
μέρος καὶ cὺ ⟨καὶ⟩ πόλις ἐμὰ τλάμων.

Ιφ. οἴμοι· τί δὴ βροτοῖcιν οὐκ ἔcτιν τόδε,
νέους δὶς εἶναι καὶ γέροντας αὖ πάλιν;
ἀλλ' ἐν δόμοις μὲν ἤν τι μὴ καλῶς ἔχηι
γνώμαιcιν ὑcτέραιcιν ἐξορθούμεθα,
αἰῶνα δ' οὐκ ἔξεcτιν. εἰ δ' ἦμεν νέοι
δὶς καὶ γέροντες, εἴ τις ἐξημάρτανεν